Νῦν δ' οὐ βιωτόν ἐστι, μὰ τὸν Ἀσκληπιόν·
λαλοῦσ' ἐπεμβαίνοντες εἰς τὸ χωρίον
ἤδη. Παρ' αὐτὴν τὴν ὁδὸν γάρ, νὴ Δία,
εἴωθα διατρίβειν; Ὅς οὐδ' ἐργάζομαι
τοῦτο τὸ μέρος ⟨τοῦ⟩ χωρίου, πέφευγα δὲ
διὰ τοὺς παριόντας. Ἀλλ' ἐπὶ τοὺς λόφους ἄνω
ἤδη διώκουσ'. Ὦ πολυπληθείας ὄχλου.
Οἴμοι, πάλιν τίς οὑτοσὶ πρὸ⟨ς⟩ ταῖς θύραις
ἕστηκεν ἡμῶν; : ΣΩΣΤΡΑ/ Ἆρα τυπ⟨τ⟩ήσει γέ με; :
ΚΝΗΜ/ Ἐρημίας οὐκ ἔστιν οὐδαμοῦ τυχεῖν
οὐδ' ἂν ἀπάγξασθαί τις ἐπιθυμῶν τύχηι. :
ΣΩΣΤΡ/ Ἐμοὶ χαλεπαίνει. — Περιμένω, πάτερ, τινὰ
ἐνταῦθα· συνεθέμην γάρ. : (ΚΝ.) Οὐκ ἐγὼ 'λεγον;
Τουτὶ στοὰ⟨ν⟩ νενομίκατ' ἢ τὸ τοῦ λεώ;
Πρὸς τὰς ἐμὰς θύρας ἐὰν ἰδεῖν τινα
βούλησθε, συντάττεσθε πάντα παντελῶς·
καὶ θῶκον οἰκοδομήσατ', ἂν ἔχητε νοῦν,
μᾶλλον δὲ καὶ συνέδριον. : — Ὦ τάλας ἐγώ·

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416160395/24 UNIVERSITÄT LEIPZIG